# De mensuris et ponderibus

## Εὐσεβίου τοῦ Παμφίλου ἐκλογὴ συντομωτέρα περὶ μέτρων καὶ σταθμῶν.

1 Εἰσὶ διαφοραὶ μὲν αὐτῶν πολλαὶ κατὰ διαφόρους χώρας, ἀλλ' ἑνὶ εἱρμῷ ἐν πληροφορίᾳ κεῖται τὰ ὑποκείμενα· ἔχει δὲ καὶ ὠφέλειαν οὐκ ὀλίγην ἡ ὑπόθεσις διὰ τὸ πλεῖστα ἐμφέρεσθαι ἐν ταῖς θεοπνεύστοις γραφαῖς.

## 2 Περὶ τῶν ὑγρῶν μέτρων.

Ἀλάβαστρος λίτρα α΄.
Ὁ τοῦ οἴνου ἀμφορεύς ἐστι μετρητὴς ξεστῶν μη΄.
Κάβος ξεστῶν  ΄.
Ξέστης λιτρῶν β΄.
Κοτύλη λίτρας α΄.
Τρυβλίον δ΄.
Ὀξύβαφον γ΄.
Κάδος ξεστῶν κδ΄.
Πρόχος ξεστῶν ιβ΄.
Χοῦς ξεστῶν  ΄.
Κύαθος β΄.
Μύστρον.
Κοχλιάριον δ΄.
Ὁ ξέστης οὖν ἄρα εἰς κοχλιάρια ἀναλύεται  ΄.

## 3Ἔτι περὶ τῶν ὑγρῶν μέτρων.

Νέβελ οἴνου ξεστῶν ρν΄.
Κάδος ἐλαίου ξεστῶν ν΄.
Βάτος ξεστῶν ν΄.
Κόλαθος ξεστῶν κε΄.
Σαφιθὰ ξεστῶν κβ΄.
Μάρις ξεστῶν κ΄.
Ἶν τὸ μέγα ξεστῶν ιη΄.
Τὸ δὲ ἅγιον ξεστῶν θ΄.
Ὑδρία ξεστῶν ι΄.
Στάμνος ξεστῶν ι΄.
Καμψάκκης ξεστῶν δ΄.
Ὁ τοῦ οἴνου σταθμὸς τῶν ι΄ λιτρῶν ἐλαίου γίνονται λίτραι θ΄, μέλιτος δὲ λίτραι ιε΄.

## 4 Περὶ τῶν ξηρῶν μέτρων.

Κόρος σάτων λ΄, μοδίων με΄.
Γόμορ μοδίων ιε΄.
Μέδιμνον μοδίων  ΄.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

Μετρητὴς μοδίων δ΄.
Λεκὲθ μοδίων ιε΄.
Ἀρτάβη μοδίων δ΄· νῦν Μόδιος ξεστῶν ι ΄.
Μέτρον ξεστῶν ζ΄.
Γόμορ μικρὸν ξεστῶν ζ΄.
Χοῖνιξ ξεστῶν β΄. δὲ γ΄.
Κύπρος ὁ Ποντικὸς μοδίων β΄.
Σάτον ἡμιόλιον τοῦ μοδίου, τουτέστι τὸ ἥμισυ μετὰ τοῦ ὅλου, ξεστῶν κδ΄.
Ὕφι ξεστῶν β΄.
Ξέστης λιτρῶν β΄.
Δρὰξ τῆς χειρὸς ἡ κράτησις.
Καὶ τὰ λεπτὰ δὲ μέτρα τῶν ξηρῶν ὁμοίως τοῖς προειρημένοις ὑγροῖς.
Σαΐτης ξεστῶν κβ΄.
Ἀπόρυμα ξεστῶν ια΄.

## 5 Περὶ σταθμῶν.

Τάλαντον λιτρῶν ξ΄.
Μνᾶ λίτρας α΄.
Λίτρα οὐγκιῶν ιβ΄.
Δηνάριον δ΄.
Νουμμὸς α΄.
Στατὴρ τὸ.
Σίκλον τὸ δ΄.
Ἀσσάριον τὸ δ΄.
Κοδράντης τὸ δ΄.
Ἀργυροῦς κερατίων ιη΄.
Νόμισμα κερατίων ιη΄.
Δραγμὴ κερατίων ιη΄.
Ὁλκὴ κερατίων ιη΄.
Γραμμὴ κερατίων ΄.
Ὀβολὸς κερατίων γ΄.
Ὀβολὸς λεπτὸς ὀγδοηκοστὸν τῆς... .
Κεράτιον φόλλεις κ΄.
Θερμὸς κερατίων α΄ .
Χαλκοῦς φόλλεις γ΄.
Μιλιαρίσιον κ΄.
Βαλάντιον κερατίων με΄.

6 Ἡ οὐγκία ἔχει στατῆρας β΄, σίκλους δ΄, δραγμὰς η΄, γραμμὰς κδ΄, ὀβολοὺς μη΄, κεράτια ρμδ΄.

7 Οἱ προειρημένοι σταθμοὶ ποτὲ ἐκ χρυσίου ἐτυποῦντο πάλαι, ποτὲ δὲ ἐξ ἀργυρίου, ἦν δὲ ὅτε καὶ ἐκ χαλκοῦ καὶ σιδήρου, καθὼς εἶχον οἱ χρόνοι καὶ οἱ τόποι.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.